# TEZAUR LITURGIC

## 20 OCTOMBRIE

## GHERASIM MIKRAGHIANANITUL

# PARACLISUL SF.CUVIOS GHERASIM DE LA KEFALONIA

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ
# ΠΑΤΕΡΑ ΗΜΩΝ
# ΓΕΡΑΣΙΜΟΝ ΤΟΝ ΕΝ ΚΕΦΑΛΛΗΝΙΑ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

Μετά τον ευλογητόν, το, Κύριε εισάκουσον, Θεός Κύριος, και το εξής. Ήχος Δ΄.Ο Υψωθείς εν τω Σταυρώ.

Ως των πασχόντων ανακούφισις θεία, και δαιμονώντων ιατήρ και ακέστωρ, Γεράσιμε Πατήρ ημών, Οσίων καλλονή, ρύου τους τιμώντάς σε, δυσαλθών νοσημάτων, σύντριψον του δράκοντος, τας δεινάς πανουργίας, άς καθ΄ημών τεκταίνει δολερώς, εν ασφαλεία τηρών την ζωήν ημών.

Δόξα. Το αυτό. Και νύν. Θεοτοκίον.

Ου σιωπήσομεν ποτέ...

Ο Ν’ . Και ο κανών ου η ακροστιχίς.

«Γερασίμου δέησις τω Γερασίμω Γένοιτ».

Ωδή Α’. Ήχος Πλ. Δ’. Υγράν διοδεύσας.

Γαυρούμενον Πάτερ νυχθημεερόν, καθ’ ημών εικαίως, τον αρχέκακον πτερνιστήν, κατάβαλε ράβδω των ευχών σου, και τοις ποσίν ημών τούτον υπόταξον.

Εν θλίψεσιν έτοιμον βοηθόν, και εν τοις κινδύνοις, αντιλήπτορα ταχινόν, Γεράσιμε πάντες σε πλουτούντες, επερχομένων δεινών λυτρωθείημεν.

Ριγώντας τω κρύει των συμφορών, περίθαλψον Πάτερ, τη θερμή σου επισκοπή, τους όλη ψυχή και διανοία, τη ιερά αρωγή σου προστρέχοντας.

Θεοτόκιον.

Αφθόρως τεκούσα μετά σαρκός, τον τας ανομίας, εξαλείφοντα των βροτών, φθαρτών νοημάτων θεοτόκε, και αμαρτάδων πολλών με εκκάθαρον.

Ωδή Γ’. Ουρανίας αψίδος.

Συσχεθέντες τω πλήθει, των πειρασμών Όσιε, και το ζην εν τούτοις εκτόπως, πάρεργον έχοντες, θερμώς βοώμέν σοι, σπεύσον ημάς εξελέσθαι, τούτων της κακώσεως, Πάτερ Γεράσιμε.

Ιατρεύων σωμάτων, τα δυσαχθή τραύματα, και της των ψυχών θεραπείας, επιμελήθητι, Πάτερ Γεράσιμε, των

χαλεπών τιτρωμένων, ιοβόλοις δήγμασι, του κοσμοκράτορος.

Μοχθηρίας ακαίρου, και δολεράς σκέψεως, πονηρευομένων δολίως, γνώμη κακόφρονι, ημάς απάλλαξον, ενδυναμών δι᾽ αγάπης, άπαντας αμύνασθαι, τους ημάς βλάπτοντας.

Θεοτοκίον.

Ολικώς ανατείνω, πάσαν αγνή έφεσιν, προς σε την ελπίδα Παρθένε, της σωτηρίας μου˙ μη υπερίδης με, άλλ᾽ ευσυμπάθητον όμμα, στρέψον μοι τω τάλανι, ίνα σωθήσομαι.

Διάσωσον από κινδύνων Γεράσιμε θεοφόρε, τους αιτούντας την σην οξείαν αντίληψιν, και πρεσβευτήν κεκτημένους σε προς τον Κτίστην.

Επίβλεψον εν ευμενεία.

Αίτησις και το Κάθισμα.

Ήχος Β΄. Πρεσβεία θερμή...

Προστάτης ημών, και φύλαξ και κραταίωμα, και σκέπη στερρά, και ασφαλείας έπαλξις, Γεράσιμε μακάριε, προμηθεία υπάρχων τη κρείττονι, μη ελλίπης φρουρών και συντηρών, τους πόθω σοι Πάτερ προσανέχοντας.

## Ωδή Δ’. Εισακήκοα Κύριε.

Υφειμένους τοις πταίσμασι, και κατεστιγμένους ταις παραβάσεσιν, ημάς ίασαι Γεράσιμε, μυστικώ φαρμάκω της πρεσβείας σου.

Διακρούσας απότρεψον, αφ’ ημών Γεράσιμε θαυματόβρυτε, του εχθρού τα μηχανήματα, και τας επιθέσεις και τα ένεδρα.

Ευμενή και ευΐλατον, τον αγαθοδότην και Πανοικτίρμονα, ημίν έργασαι Γεράσιμε, ταις σεπταίς σου Πάτερ παρακλήσεσι.

### Θεοτοκίον.

Ηλιόμορφε Δέσποινα, ταις φωτοβολίαις της αγλαΐας σου, της ψυχής μου την σκοτόμαιναν, λύσον ίνα ίδω φως το άδυτον.

## Ωδή Ε’ . Φώτισον ημάς.

Στόνων χαλεπών, επωδύνων περιστάσεων, και σκανδάλων αληθώς ψυχοβλαβών, ελευθέρωσον Γεράσιμε τους δούλους σου.

Ίδε συμπαθώς, συμπαθέστατε Γεράσιμε, επί την οικτρότητα ημών, και βελτίωσον ημάς, ως οίδας Όσιε.

Σκέπη ασφαλής, και ελπίδος καταφύγιον, η βεβαία προστασία σου σοφέ, τοις τιμώσί σε γενέσθω, ημάς σώζουσα.

Θεοτοκίον.

Τείχος αρραγές, συ υπάρχεις Μητροπάρθενε, τοις απλέτω προσιούσί σοι στοργή, όθεν φύλαττε οσώραι ημάς Δέσποινα.

Ωδή ΣΤ'. Την δέησιν.

Ως άνθρακα, αληθώς πυρίμορφον, η του πνεύματος σε έδειξε χάρις, κατεμπιπρώντα δαιμόνων τα στίφη, και πάσαν ύλην παθών καταφλέγοντα˙ όθεν ανάλωσον καμού, το σαθρόν και υλώδες Γεράσιμε.

Γαλήνισον, την αγρίαν θάλασσαν, των ατάκτων μου παθών θεοφόρε, επιτιμών τη σφοδρά αντιπνοία, και τω βιαίως συρίζοντι πνεύματι, και προς γαλήνην νοητήν, των Χριστού θελημάτων με ίθυνον.

Επάκουσον, της ημών δεήσεως, ης κεκράγομεν εκ μέσης καρδίας, και τους μικρούς σταλαγμούς των δακρύων, αποδεξάμενος Πάτερ επίστηθι, και χαρμονής της αληθούς, τας ψυχάς ημών πλήσον Γεράσιμε.

Θεοτοκίον.

Ρυσθήναί με, συνηθείας χείρονος, και βιαίας κακοτρόπου δουλείας, και πονηράς έξεως Θεοτόκε, ως αγαθή μου προστάτις ικάνωσον, το ασθενές μου και σαθρόν, ίνα πίστει και πόθω δοξάζω σε.

Διάσωσον από κινδύνων Γεράσιμε θεοφόρε, τους αιτούντας την σην οξείαν αντίληψιν, και πρεσβευτήν κεκτημένους σε προς τον Κτίστην.

Άχραντε η δια λόγου.

Αίτησις και το Κοντάκιον.

Ήχος Β'. Προστασία των Χριστιανών...

Προστατεύειν των ειλικρινώς αφορώντων σοι, και πρεσβεύειν διηνεκώς προς τον Κύριον, μη ελλίπης ως συμπαθής Γεράσιμε σοφέ, ίνα ρυσθώμεν πάσης οργής, και επηρείας χαλεπής, οι θερμώς εκβοώντές σοι˙πρόφθασον θεοφόρε, και σκέπασον τους σους δούλους, εκ των βελών του πονηρού, ως Χριστού θεράπων γνήσιος.

Προκείμενον.

Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου αυτού.

Στίχος. Μακάριος ανήρ ο φοβούμενος τον Κύριον.

Ευαγγέλιον. Εκ του κατά Ματθαίον (ΙΑ' . 27-30).

Είπεν ο Κύριος τοις εαυτού Μαθηταίς . Πάντα μοι παρεδόθη υπό του Πατρός μου˙ και ουδείς επιγινώσκει τον Υιόν, ει μη ο Πατήρ˙ ουδέ τον Πατέρα τις επιγινώσκει, ειμή ο Υιός, και ώ εάν βούληται ο Υιός αποκαλύψαι. Δεύτε προς με πάντες οι κοπιώντες και πεφορτισμένοι, καγώ αναπαύσω υμάς. Άρατε τον ζυγόν μου εφ' υμάς, και μάθετε απ' εμού, ότι πράος ειμι, και ταπεινός τη καρδία, και ευρήσετε ανάπαυσιν ταις ψυχαίς υμών. Ο γαρ ζυγός μου χρηστός, και το φορτίον μου ελαφρόν εστιν.

Δόξα.Ταις του σου Οσίου...

Και νύν.Ταις της Θεοτόκου...

Προσόμοιον.Ήχος Πλ. Β'. Όλην αποθέμενοι.

Στίχος. Ελεήμον, ελέησόν με ο Θεός...

Τάχος επιφάνηθι, ελθέ επίσκεψαι Πάτερ, τους θερμοίς εν δάκρυσιν, επιβοωμένους σε, εις βοήθειαν, και δεινών κόπασον, τας επαναστάσεις, και τον σάλον καταπράϋνον, ής εκπεπτώκαμεν, συνοχής γεννώσης απόγνωσιν, Γεράσιμε πανθαύμαστε, μη παρίδης δέησιν ένθερμον, άλλ' επισκοπή σου, διάλυσον το νέφος των παθών, και ευφροσύνης ανάτειλον, φως ημίν γλυκύτατον.

Ωδή Ζ’. Οι εκ της Ιουδαίας.

Ανεπίληπτον βίον, καθαρόν πολιτείαν θεοπρεπή αγωγήν, σεμνότητα εν λόγοις, αγνότητα εν τρόποις, γεωργείν ενδυνάμωσον, τους σε τιμώντας λαμπρώς, Γεράσιμε τρισμάκαρ.

Σωφροσύνης το κάλλος, εγκρατείας το φέγγος επιεικείας το φως, ηθών την ευκοσμίαν, και πάσαν ευπραγίαν, δια βίου πορίζεσθαι, Γεράσιμε ιερέ, αξίωσον σους δούλους.

Ιατήρ ασθενούντων, ακεστήρ δαιμονόντων και ευρωστίας δοτήρ, αρρήτω ενεργεία, Γεράσιμε υπάρχων, φιλευσπλάχνως θεράπευσον, τα συμφυέντα μοι νύν, θανατηφόρα πάθη.

Θεοτοκίον.

Μητροπάρθενε Κόρη, η τεκούσα αφράστως τον Βασιλέα Χριστόν, θανάτωσον εις τέλος, ευχαίς σου ζωηφόροις, την οικτρώς τυραννούσάν με, θανατηφόρον ροπήν, ολεθροφόνον έξιν.

Ωδή Η’. Τον Βασιλέα.

Ως αντιλήπτωρ, των ευσεβώς σε καλούντων, της ζωής ημών αντιλαβού εν πάσι, νέμων καθ’ εκάστην, τα αίσια σοις δούλοις.

Γνώμην ευθείαν, και εν αλλήλοις αγάπην, καταξίωσον ημάς αεί προσφέρειν, και την των σκανδάλων, εκτρέπεσθαι μανίαν.

Επηρειών σε, δαιμονικών καθαιρέτην, επιστάμενοι Γεράσιμε βοώμεν˙ ρύου ημάς πάντας, της τούτων κακουργίας.

Θεοτοκίον.

Νόμω κακίας, δεδουλωμένον οικτρώς με, ελευθέρωσον υπερευλογημένη, και προς ευνομίας με, ίθυνον τας τρίβους.

Ωδή Θ’. Κυρίως Θεοτόκον.

Ο βίος μου οδύνης, πλήρης και πικρίας, τη προς τα χείρονα νεύσει γεγένηται, αλλά σοι Πάτερ προστρέχων ούκ απογνώσομαι.

Ιδών επιδραμόντα, κύκλω μου θεόφρον, τα της κακίας ακάθαρτα πνεύματα, σπεύσον και σώσον της τούτων λεηλασίας με.

Την άμαχόν σου σκέπην, μηδόλως αποστήσης από των πίστει τιμώντων σε Όσιε, άλλ’ εναργώς καθ’ εκάστην βοήθει άπασι.

Θεοτοκίον.

Ολόφωτε λυχνία, Κεχαριτωμένη, τον εσβεσμένον μου λύχνον, διάναψον, και προς το φώς της αρίστης ζωής με ίθυνον.

Το, Άξιόν εστι, και τα Μεγαλυνάρια.

Χαίροις των Οσίων ο κοινωνός, και Κεφαλληνίας αντιλήπτωρ και αρωγός, χαίροις εκκλησίας η λαμπηδών η νέα, Γεράσιμε παμμάκαρ, Αγγέλων σύσκηνε.

Γένους περιφάνειαν παριδών, εκ παιδός προθύμως, ηκολούθησας τω Χριστώ, και δι᾽ ισαγγέλου, εκλάμψας πολιτείας, ημάς καταπυρσεύεις, Πάτερ Γεράσιμε.

Χαίροις ιαμάτων ο ποταμός, ο χαρίτων ρείθροις, αποπλύνων πάθη δεινά, χαίροις ο νοσούσι, παρέχων την υγείαν, Γεράσιμε θεόφρον, δυνάμει κρείττονι.

Ύλης απολέξας άχθος βαρύ, την της αϋλίας, εγεώργησας δωρεάν˙ όθεν αφθαρσίας, το σκήνός σου την χάριν, Γεράσιμε εκλάμπει πάσι τοις πέρασι.

Γέρας Ορθοδόξων θεοειδές, και των κακοδόξων, ξίφος δίστομον και τομόν, ώφθης θεοφόρε, υστέροις εν τοις χρόνοις, υψώσας θαυμασίως, πιστών το φρόνημα.

Φύλαττε ατρώτους και ασινείς, εκ δαιμόνων βλάβης, και παντοίας επιβουλής, τους την αρωγήν σου, θερμώς επιζητούντας, Γεράσιμε παμμάκαρ, ημών ο έφορος.

Πάσαι των Αγγέλων.

Τρισάγιον, και το παρόν Απολυτίκιον. Ήχος Α'.

Των Ορθοδόξων προστάτην, και εν σαρκί άγγελον, και θαυματουργόν Θεοφόρε νεοφανέντα ημίν, επαινέσωμεν πιστοί, θείον Γεράσιμον˙ ότι αξίως παρά Θεού απείληφεν, ιαμάτων την αένναον χάριν˙ ρώννυσι τους νοσούντας, δαιμονιώντας ιάται˙ Διο και τοις τιμώσιν αυτόν βρύει ιάματα.

Μεθ' ο η σχετική δέησις και απόλυσις, μεθ' ήν το παρόν Προσόμοιον.

Ήχος Β'. Ότε εκ του ξύλου σε νεκρόν.

Σκέπη και στερρά καταφυγή, και αναψυχή εν ανάγκαις, και παραμύθιον, εν ποικίλαις θλίψεσι, τοις κινδυνεύουσιν, αληθώς η πρεσβεία σου, Γεράσιμε πέλει˙ όθεν εκβοώμέν σοι, ικετηρίαις φωναίς˙ πάσης δυσμενείας και βλάβης, και επιφοράς δυσφορήτου, σώζε τους θερμώς σοι προσανέχοντας.

Δέσποινα πρόσδεξαι.

Την πάσαν ελπίδα μου.

Δίστιχον.

Δέχου Γεράσιμε την ικετηρίαν.

Ήν σοι ομώνυμος θεοφρόνως πλέκει.

